στον παρακρούσασθαι, καὶ ἤτοι πλέον ἐλπίσαι, ἢ πλέον δεδιέναι παραχεῖν τοῦ προσήκοντος· ὥστε συμβαίνειν, τὸν οὐ φαῦλον ὄντα προϊδεῖν, καὶ συνεικάσαι εἰς ὅ τελευτῆς ἥξει τὰ ἀλλότρια, τοῦτον περὶ τὰ ἴδια καθίστασθαι μάντιν φαυλότατον (1).

(1) Περὶ τῶν σφίσιν ὁπωσοῦν ἐπανηκόντων καθισαμένης τῆς σκέψεως, τὰ πρὸς θυμοῦ αὐτοῖς, ἢ ἄπο θυμοῦ προφαινόμενα, ἐς ὑπολογισμοὺς ἀκρίτους συνεχῶς τοὺς πολλοὺς παρεξάγει, τὰ μὲν ἐλπίσιν ἀτελέστοις ὑποκουφίζοντα, τὰ δὲ πτοίαις τε, καὶ φόβοις ἀμέτροις, τὴν ψυχὴν ἐξιστῶντα καὶ ἐκταράσσοντα. (Περὶ τούτου ἄριστα διείληπται τῷ συγγραφεῖ τῆς Τέχν. τοῦ Νοεῖν, Μερ. Δ΄. Κεφ. ϛ΄.) Καὶ γὰρ ὡς μὲν ἐλαχίστου πάνυ, τὸ πολλαπλάσιον ἐστὶν ἀποκερδᾶναι ἐν τοῖς δημοσίοις Λάχεσιν, ἃς Loteries ἡ Γαλλικὴ οἶδε φωνή, τοῦτο ἀναπολοῦσιν οἱ πάντες· ὡς δὲ καὶ ὑπερπολλαπλάσιον τὸ μὴ τυχεῖν, τοῦ τυχεῖν ἐλπίσαι, τοῦθ᾽ ἥκιστα οἱ πολλοὶ ἐοίκασι προσλογίζεσθαι. Οὐ γὰρ ἄν, εἴπερ, οὕτως ἐντρεχῶς ἐπὶ τοῖς μονουχὶ ἀπιθάνοις, τὰ ἐν χερσὶ κατεβάλλοντο. Εἰ γὰρ δεκάκις χίλια, φέρε, ἀνθ᾽ ἑνὸς τοῦ καταβαλλομένου ἐλπὶς αὐτοὺς λήψεσθαι, ἀλλὰ τόγε δεκάκις μυριάκις, καὶ πρός, μᾶλλον πιθανὸν εἶναι τὸ μὴ λαχεῖν τοῦ λαχεῖν, ἀνενηκοντάκις δήπου χιλιοστὸν τῆς ἐλπίδος αὐτοῖς καταλείπει τὸ μόριον. Τοὐναντίον δέ, κινδύνου ποθέν, κἂν ὅτι πορρωτάτω, ἐπηρτημένου· οἷον ἐπειδὰν κεραυνοῖ, πολλοὶ ὅσον οὐχ ὑπὸ τοῦ δέους ἐκθνήσκουσιν. Ἐννοοῦντες γὰρ τὸ δεινὸν ὅσον, ἡλίκον καὶ τὸ πιθανὸν ἐστὶν αὐτοῖς ἐπισκήψειν, οὐδαμῶς συμβάλλουσι· συνεῖδον γὰρ ἄν, μηδὲν πλέον, ἢ τὸ διακοσιαστομυριοστὸν τοῦ κινδύνου αὐτοῖς ἐπικρέμασθαι. Μόλις γὰρ ἐν διακοσίαις ἀνθρώπων μυριάσιν ἕνα, κεραυνῷ βληθῆναι, ὁσάκις ἂν συμβαίη, παρατετήρηται. Δεῖ τοίνυν μὴ τὸ μέγεθος τοῦ ἀγαθοῦ, ἢ κακοῦ μόνον περισκοπεῖν, ἀλλὰ καὶ τὸ μέτρον τοῦ ἀκόντος ἀναλογίζεσθαι, καὶ τούτῳ συμμέτρως ἐλπίζειν τε, καὶ δεδιέναι. Ἀλλὰ γὰρ οὕτω μὲν περὶ τῶν ἐνταῦθα. Ἐπὶ δὲ τῶν μετὰ τὴν ἐνθένδε λῆξιν ἐλπιζομένων, καὶ τῶν ἐκεῖθεν φοβερῶν, οὐκέτι δὴ ὁ ῥηθεὶς ὑπολογισμὸς ἔχει τὸ εὔλογον. Περὶ γὰρ ἐκείνου, οὐδ᾽ ἐλπὶς ἂν γένοιτο περιττή, οὐδὲ φόβος ἄμετρος· Οὐδὲ γὰρ οὐδ᾽ ἂν εἰ τὴν σύμπασάν τις τῶν ἀνθρώπων εὐδαιμονίαν, ἢ κακοδαιμονίαν, εἰς ἓν ἀθροίσας τῷ λόγῳ, οὐδὲ τὸ πολλοστὸν ἂν ἐκείνων ἀντιστηκώσειεν· Οὐδεμία γὰρ παράθεσις, οὐδὲ λόγος οὐδείς, τοῦ πέρας ἔχοντος πρὸς τὸ ἄπειρον.

ΚΕΦ.



## ΚΕΦ. ΕΝΝΑΤΟΝ.

### Ὅπως τῶν ἐν τοῖς οὖσι φαινομένων τὰς αἰτίας πιθανῶς θηρώμεθα.

§. τξγ΄.

Ἡ δὲ Φυσικὴ Κριτική, ἧς ἴδιον τὰ αἴτια τῶν ἐν τῇ φύσει συμβαινόντων, καὶ τὸν τρόπον τῆς τούτων ἑκάστου ὑπάρξεως ἐστὶ πολυπραγμονεῖν (§. τί.), περίτε τὰς πείρας ἀναστρέφεται, καὶ τὰ φαινόμενα, δι᾽ ὧν μάλιστα τὰ κατὰ τὴν Φυσιολογίαν κρατύνεται Δόγματα, ἢ τῶν Αἰτίων τὰ λανθάνοντα δηλοποιεῖται.

§. τξδ΄. Διαφέρει δὲ πείρας φαινόμενον, καίτοι πρὸς αἴσθησιν ἔχον ἑκάτερον. Τὸ μὲν γάρ, παρασκευῆς ἄνευ, καὶ ἐπινοίας τῆς παρ᾽ ἡμῶν, αὐτόματον ἀπαντᾷ τῇ δυνάμει, καὶ οἷον εἰπεῖν ἀνεπιτεχνήτως· τοιαῦτα δέ, αἵτε τῶν πλανητῶν περίοδοι, καὶ αἱ φάσεις, καὶ τὰ ποικίλα τῶν μετεώρων, καὶ ὅσα ἁπλῶς τῶν ἐν τῇ φύσει γινόμενα τὴν αἴσθησιν οὐ διαφεύγει. Περὶ δὲ τὰς πείρας καὶ αὐτοὶ τὸ παρ᾽ ἑαυτῶν συνεισφέρομεν, τὴν κατ᾽ αὐτὰς παρατήρησιν τρόποις παντοίοις τεχνιτευόμενοι. (1). Ἡ γοῦν ὡς ἄλλοι, τὸ μὲν φαινόμενον, κοινήτις καὶ Δημώδης ἐστὶ πεῖρα, πρόχειρος οὖσα καὶ τῷ τυχόντι λαβεῖν· οἷον ὅτι τὸ πῦρ καίει. Ἡ δὲ πεῖρα τοῖς ἰχνηλατοῦσι τὴν φύσιν ἰδιάζον προσπίπτει φαινόμενον· οἷον ὅτι ὁ ἀὴρ βρίθει. Οἱ δὲ τέως καὶ τὴν καινοτέραν ἐκείνην καὶ Δημώδη πεῖραν, εἰς τὴν μὲν ἐξωτερικήν, τὴν δὲ ἐσωτερικήν, ἀντιδιαστέλλουσιν· ὧν ἡ μὲν τινι τῶν ἔξω αἰσθητηρίων ἐστὶ ληπτή, ἡ δὲ διὰ συναισθήσεως, ἧς ἐν ἑαυτοῖς πάσχοντές τι συναισθανόμεθα. Ἐπὶ γοῦν τούτων τοῖς ἐφεξῆς Κανόσι προσέχειν ἄξιον.

X 5 §. τξέ.

(1) Χρώμεθα γὰρ Ὀργάνοις τισίν, οἷον τῷ Πνευματικῷ καλουμένῳ Μηχανήματι, καὶ τῷ Ἠλεκτρικῷ, καὶ τῷ ἀπὸ τοῦ ἐπινενοηκότος Τορικηλλέῳ λεγομένῳ σωλῆνι, τοῖς τε Βαρομέτροις, καὶ τοῖς Θερμομέτροις, κτ. (περὶ ὧν σεσημείωται §. τνζ΄.) καὶ Τηλεσκοπίοις, καὶ Μικροσκοπίοις, Τριγώνοις τέτισι Πρίσμασι, καὶ ποικίλοις ἄλλοις, δι᾽ ὧν τὰ κατὰ τὴν Φυσικήν, καὶ τὴν Ἀστρονομίαν πειράματα λαμβάνομεν.